# T7 Od.A.11-57 als docx

11 ἔνθ’ ἄλλοι μὲν πάντες, ὅσοι φύγον αἰπὺν ὄλεθρον,
12 οἴκοι ἔσαν, πόλεμόν τε πεφευγότες ἠδὲ θάλασσαν·
13 τὸν δ’ οἶον νόστου κεχρημένον ἠδὲ γυναικὸς
14 νύμφη πότνι’ ἔρυκε Καλυψὼ δῖα θεάων
15 ἐν σπέσσι γλαφυροῖσι, λιλαιομένη πόσιν εἶναι.
16 ἀλλ’ ὅτε δὴ ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν,
17 τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκόνδε νέεσθαι
18 εἰς Ἰθάκην, οὐδ’ ἔνθα πεφυγμένος ἦεν ἀέθλων ἦεν ep. = ἦν att.
19 καὶ μετὰ οἷσι φίλοισι. θεοὶ δ’ ἐλέαιρον ἅπαντες
20 νόσφι Ποσειδάωνος· ὁ δ’ ἀσπερχὲς μενέαινεν
21 ἀντιθέῳ Ὀδυσῆι πάρος ἣν γαῖαν ἱκέσθαι.
22 ἀλλ’ ὁ μὲν Αἰθίοπας μετεκίαθε τηλόθ’ ἐόντας,
23 Αἰθίοπας τοὶ διχθὰ δεδαίαται, ἔσχατοι ἀνδρῶν,
24 οἱ μὲν δυσομένου Ὑπερίονος οἱ δ’ ἀνιόντος,
25 ἀντιόων ταύρων τε καὶ ἀρνειῶν ἑκατόμβης.
26 ἔνθ’ ὅ γ’ ἐτέρπετο δαιτὶ παρήμενος· οἱ δὲ δὴ ἄλλοι
27 Ζηνὸς ἐνὶ μεγάροισιν Ὀλυμπίου ἁθρόοι ἦσαν.
28 τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
29 μνήσατο γὰρ κατὰ θυμὸν ἀμύμονος Αἰγίσθοιο,
30 τόν ῥ’ Ἀγαμεμνονίδης τηλεκλυτὸς ἔκταν’ Ὀρέστης·
31 τοῦ ὅ γ’ ἐπιμνησθεὶς ἔπε’ ἀθανάτοισι μετηύδα·
32 ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
33 ἐξ ἡμέων γάρ φασι κάκ’ ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
34 σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε’ ἔχουσιν,
35 ὡς καὶ νῦν Αἴγισθος ὑπὲρ μόρον Ἀτρεΐδαο
36 γῆμ’ ἄλοχον μνηστήν, τὸν δ’ ἔκτανε νοστήσαντα,
37 εἰδὼς αἰπὺν ὄλεθρον, ἐπεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
38 Ἑρμείαν πέμψαντες, ἐύσκοπον ἀργεϊφόντην,
39 μήτ’ αὐτὸν κτείνειν μήτε μνάασθαι ἄκοιτιν·
40 ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρεΐδαο,
41 ὁππότ’ ἂν ἡβήσῃ τε καὶ ἧς ἱμείρεται αἴης.
42 ὣς ἔφαθ’ Ἑρμείας, ἀλλ’ οὐ φρένας Αἰγίσθοιο Αἰγίσθοιο ep. = Αἰγίσθου att.
43 πεῖθ’ ἀγαθὰ φρονέων· νῦν δ’ ἁθρόα πάντ’ ἀπέτισεν.
44 τὸν δ’ ἠμείβετ’ ἔπειτα θεά, γλαυκῶπις Ἀθήνη·
45 ὦ πάτερ ἡμέτερε Κρονίδη, ὕπατε κρειόντων,
46 καὶ λίην κεῖνός γε ἐοικότι κεῖται ὀλέθρῳ·
47 ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι· ἀπόλοιτο, ῥέζοι Opt. im HS = Wunsch
48 ἀλλά μοι ἀμφ’ Ὀδυσῆι δαΐφρονι δαίεται ἦτορ,
49 δυσμόρῳ, ὃς δὴ δηθὰ φίλων ἄπο πήματα πάσχει
50 νήσῳ ἐν ἀμφιρύτῃ, ὅθι τ’ ὀμφαλός ἐστι θαλάσσης.
51 νῆσος δενδρήεσσα, θεὰ δ’ ἐν δώματα ναίει,
52 Ἄτλαντος θυγάτηρ ὀλοόφρονος, ὅς τε θαλάσσης
53 πάσης βένθεα οἶδεν, ἔχει δέ τε κίονας αὐτὸς
54 μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν.
55 τοῦ θυγάτηρ δύστηνον ὀδυρόμενον κατερύκει,
56 αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισιν
57 θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεύς, ...